*αὐτῶν τὰ λοιπὰ συντιθέναι, καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν, καὶ τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας, ἐκτρέφειν καὶ αὔξειν. Οὐ γὰρ ὡς ἀγγεῖον, ὁ νοῦς ἀποπληρώσεως,* 8
*ἀλλ᾽ ὑπεκκαύματος μόνον, ὥσπερ ὕλη, δεῖται, ὁρμὴν ἐμποιοῦντος εὑρετικήν, καὶ ὄρεξιν ἐπὶ τὴν ἀλήθειαν. Ὥσπερ* 9
*οὖν εἴ τις ἐκ γειτόνων πυρὸς δεόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν αὐτοῦ καταμένοι διὰ τέλους θαλπόμενος· οὕτως εἴ τις ἥκων λόγου μεταλαβεῖν πρὸς ἄλλου, οὐκ οἴεται δεῖν φῶς οἰκεῖον ἐξάπτειν καὶ νοῦν ἴδιον, ἀλλὰ χαίρων τῇ ἀκροάσει, κάθηται θελγόμενος, οἷον ἔρευθος ἕλκει καὶ γάνωμα, τὴν δόξαν ἀπὸ τῶν λόγων, τὸν δὲ ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον οὐκ ἐκτεθέρμακεν, οὐδὲ ἐξέωκε διὰ φιλοσοφίας. Εἰ δεῖ τινος οὖν πρὸς ἀκρόα-* 10
*σιν ἑτέρου παραγγέλματος, δεῖ καὶ τοῦ νῦν εἰρημένου μνημονεύοντας, ἀσκεῖν ἅμα τῇ μαθήσει τὴν εὕρεσιν· ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικήν, ἀλλ᾽ ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες.*

## Γ΄. ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ.

*α. Τῷ σφόδρα φιλεῖν ἑαυτόν, ὦ Ἀντίοχε Φιλόπαππε, φάσκοντι συγγνώμην μὲν ἅπαντας ὁ Πλάτων διδόναι φησί· κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ᾽ ἧς οὐκ ἔστιν αὐτοῦ κριτὴν δίκαιον οὐδὲ ἀδέκαστον εἶναι· τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ἂν μή τις μαθὼν ἐθισθῇ τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. Τοῦτο τῷ* 2
*κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ᾽ ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι᾽ ἣν αὐτὸς αὐτοῦ*

---

α. *Τῷ σφόδρα φιλεῖν ἑαυτόν*) Τὴν γνώμην ταύτην, ὡς καὶ ἄλλας πολλὰς ἐξ Εὐριπίδου παρέλαβεν ὁ Πλάτων. Λέγει δὲ ἐκεῖνος ἐν τοῖς λειψάνοις τῆς τραγῳδίας, ὁ Κρεσφόντης ταῦτα· «Ἐκεῖνο δὴ πέπονθ᾽ ὅπερ πάντες βροτοί, φιλῶν μάλιστ᾽ ἐμαυτὸν οὐκ αἰσχύνομαι.» — *Ὦ Ἀντίοχε Φιλόπαππε*) Ὁ Φιλόπαππος οὗτος εἶνε ὁ αὐτὸς τῷ ἐν Συμποσιακοῖς 1, 10 ὑπὸ τοῦ ἡμετέρου συγγραφέως ἀναφερομένου. Λέγεται δὲ ἐκεῖ βασιλεύς, ὡς καταγόμενος ἐκ τοῦ Ἀντιόχου τοῦ τῆς Κομμαγηνῆς βασιλέως. Ὁ δὲ ὁμώνυμος τοῦ ἡμετέρου Ἀντιόχου Ἀντίοχος οὗτος, ἀφαιρεθεὶς τὸν θρόνον ὑπὸ Βεσπασιανοῦ, μετέβη εἰς Ῥώμην μετὰ τῶν δύο υἱῶν του Καλλινίκου καὶ Ἐπιφανοῦς. Τούτου δὲ τοῦ Ἐπιφανοῦς εἶνε υἱὸς ὁ ἡμέτερος Ἀντίοχος, τοῦ ὁποίου καὶ μνημεῖον δείκνυται ἐν Ἀθήναις κατὰ τὸν ἀπέναντι τῆς ἀκροπόλεως λόφον, καλούμενον παρὰ τοῖς ἀρχαίοις Μουσεῖον. Ἴδε Παυσ. 1, 25.

2. *Τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ᾽ ὑμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν*) Ἰδία τῷ Πλουτάρχῳ ἡ ἔκφρασις αὕτη· ὁ δὲ νοῦς τοῦτο (τυφλοῦται γάρ . . .) δίδωσιν εἰς τὸν κόλακα πολλὴν τὴν εὐκολίαν ἵνα τοῖς φίλοις ἡμῶν συγκαταλέγηται, ἅτε δυνάμενον νὰ ἐξορμᾷ ἐφ᾽ ἡμᾶς ἀπὸ τῆς φιλαυτίας ὡς ἀφ᾽ ὁρμητηρίου. Δηλοῖ δὲ ἡ λέξις, ὁρμητήριον, θέσιν ὠχυρωμένην, ἀφ᾽ ἧς οἱ πολεμοῦντες ἐπιπίπτουσι τοῖς ἐχθροῖς, καὶ εἰς ἣν ἀποχωροῦσιν ἂν κινδυνεύωσιν.

κόλαξ ἕκαστος ὢν πρῶτος καὶ μέγιστος, οὐ χαλεπῶς προσίε-
ται τὸν ἔξωθεν, ὃν οἴεται καὶ βούλεται μάρτυν ἅμα αὐτῷ καὶ
3 βεβαιωτὴν προσγινόμενον. Ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ
σφόδρα φίλαυτός ἐστι, καὶ δι' εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρ-
χειν βουλόμενος πάντα δὲ οἰόμενος· ὧν ἡ μὲν βούλησις οὐκ ἄτο-
4 πος, ἡ δὲ οἴησις ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐλαβείας. Εἰ
δὲ θεῖον ἡ ἀλήθεια, καὶ πάντων μὲν ἀγαθῶν θεοῖς, πάντων δὲ
ἀνθρώποις ἀρχὴ κατὰ Πλάτωνα, κινδυνεύει θεοῖς ἐχθρὸς ὁ
5 κόλαξ εἶναι, τῷ δὲ Πυθίῳ διαφερόντως. Ἀντιτάττεται γὰρ
ἀεὶ πρὸς τὸ, Γνῶθι σαυτὸν, ἀπάτην ἑκάστῳ πρὸς ἑαυτὸν ἐμ-
ποιῶν, καὶ ἄγνοιαν ἑαυτοῦ καὶ τῶν περὶ αὐτὸν ἀγαθῶν καὶ
κακῶν, τὰ μὲν ἐλλειπῆ καὶ ἀτελῆ, τὰ δ' ὅλως ἀνεπανόρθωτα
ποιῶν.

β'. Εἰ μὲν οὖν, ὡς τὰ πλεῖστα τῶν ἄλλων κακῶν, ὁ κόλαξ
ἥπτετο μόνον ἢ μάλιστα τῶν ἀγεννῶν καὶ φαύλων, οὐκ ἂν ἦν
2 οὕτως δεινὸν οὐδὲ δυσφύλακτον. Ἐπεὶ δὲ, ὥσπερ οἱ θρῖπες ἐμ-
φύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις, οὕτω τὰ
φιλότιμα τῶν ἠθῶν καὶ χρηστὰ καὶ ἐπιεικῆ τὸν κόλακα δέχε-
ται καὶ τρέφει προσφυόμενον· ἔτι δ', ὥσπερ ὁ Σιμωνίδης τὴν
ἱπποτροφίαν φησὶν

Οὐ Λακύθῳ ὀπαδεῖν, ἀλλ' ἀρούραισι πυροφόροις,

οὕτω τὴν κολακείαν ὁρῶμεν οὐ πένησιν, οὐδὲ ἀδόξοις, οὐδὲ
ἀδυνάτοις ἀκολουθοῦσαν, ἀλλ' οἴκων τε καὶ πραγμάτων μεγάλων
ὀλίσθημα καὶ νόσημα γινομένην, πολλάκις δὲ καὶ βασιλείας
καὶ ἡγεμονίας ἀνατρέπουσαν· οὐ μικρὸν ἔργον ἐστὶν, οὐδὲ
φαύλης δεόμενον προνοίας, ἡ περὶ αὐτῆς ἐπίσκεψις· ὡς ἂν μά-
λιστα περίφωρος οὖσα, μὴ βλάπτοι μηδὲ διαβάλλοι τὴν φι-
3 λίαν. Οἱ μὲν γὰρ φθεῖρες ἀπίασιν ἀπὸ τῶν τελευτώντων, καὶ
ἀπολείπουσι τὰ σώματα σβεννυμένου τοῦ αἵματος, ἐξ οὗ τρέ-
φονται· τοὺς δὲ κόλακας οὐδ' ὅλως ἰδεῖν ἔστι πράγμασι ξηροῖς
καὶ κατεψυγμένοις προσιόντας· ἀλλὰ ταῖς δόξαις καὶ ταῖς δυ-

---

3. Φιλοκόλαξ — οἰόμενος) Ἴδε Ἀριστοτέλους Ἠθικ. Νικομάχ. ή. 8. καὶ Ῥητορικ. Α. 2.

4. Κατὰ Πλάτωνα) Ἐν Νόμ. Ε, σελ. 605. «ἀλήθεια πάντων μὲν ἀγαθῶν θεοῖς, πάντων δὲ ἀνθρώποις ἡγεῖται.»

β'. 2. Οἱ θρῖπες ἐμφύονται) Ὁ Θεόφραστος ἐν τῇ ἱστορ. τῶν Φυτ. λέγει. «Τῶν δὲ ῥιζῶν ὅσαι μὲν γλυκύτητά τινα ἔχουσι, συμβαίνει θριπηδέστους γίνεσθαι χρονιζομένας· ὅσαι δὲ δριμεῖαι, τοῦτο μὲν μὴ πάσχειν· ἀμαυροῦσθαι δ' αὐτῶν τὰς δυνάμεις μενομένων καὶ κενουμένων· τῶν δ' ἔξω θηρίων ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης, ἡ δὲ σφονδύλη πασῶν.»

— Οὐ Λακύθῳ ὀπαδεῖν) Ἴδε λεξικ. Γαζῆ Λ. Λήκυθος· ἄλλα δὲ χειρόγραφ. ἔχουσι Ζακύνθῳ ἀντὶ Ληκύθῳ ὅπερ ἐξηγεῖται ἐκ τοῦ Ὁμήρου, Ὀδ. Α, 24, «ὑλήεσσα Ζάκυνθος.»

— Πραγμάτων μεγάλων ὀλίσθημα) Ἀρχὴν δηλοῖ ὀλ. πρᾶγμα, παρὰ τοῖς Λατίνοις ἡ res.

ΙΩΑΝΝΙΝΑ 2006

νάμεσιν ἐπιτίθενται καὶ αὔξονται, ταχὺ δ' ἐν ταῖς μεταβολαῖς
ἀποῤῥέουσιν. Ἀλλὰ τὴν τότε πεῖραν οὐ δεῖ περιμένειν ἀνω- 4
φελῆ, μᾶλλον δὲ βλαβερὰν καὶ οὐκ ἀκίνδυνον οὖσαν. Χαλεπὴ 5
γὰρ ἐν καιρῷ δεομένῳ φίλων ἡ τῶν μὴ φίλων αἴσθησις, ἀντι-
καταλλαγὴν οὐκ ἔχουσα χρηστοῦ καὶ βεβαίου πρὸς ἀβέβαιον
καὶ κίβδηλον. Ἀλλ' ὥσπερ νόμισμα δεῖ τὸν φίλον ἔχειν πρὸ 6
τῆς χρείας δεδοκιμασμένον, μὴ ὑπὸ τῆς χρείας ἐλεγχόμενον.
Οὐ γὰρ δεῖ βλαβέντας αἰσθέσθαι, ἀλλ', ὅπως μὴ βλαβῶμεν, 7
ἐμπειρίαν λαβεῖν καὶ κατανόησιν τοῦ κόλακος. Εἰ δὲ μή, 8
ταὐτὸ πεισόμεθα τοῖς αἰσθανομένοις τῷ προγεγεῦσθαι τῶν θα-
νασίμων φαρμάκων, εἰς τὴν κρίσιν ἀπολλύντες ἑαυτοὺς καὶ
διαφθείροντες. Οὔτε γὰρ δὴ τούτους ἐπαινοῦμεν, οὔτε ὅσοι τὸν 9
φίλον εἰς τὸ καλὸν τιθέμενοι καὶ ὠφέλιμον, οἴονται τοὺς κεχα-
ρισμένους ὁμιλοῦντας εὐθὺς ἔχει ἐπαυτοφόρῳ κόλακας εἰλημ-
μένους. Οὐδὲ γὰρ ἀηδὴς ὁ φίλος, οὐδ' ἄκρατος, οὐδὲ τῷ πι- 10
κρῷ σεμνὸν ἡ φιλία καὶ αὐστηρῷ· ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ καλὸν
καὶ τὸ σεμνὸν αὐτῆς ἡδὺ καὶ ποθούμενόν ἐστι· παρὰ δ' αὐτῇ

— χάριτές τε καὶ ἵμερος οἰκί' ἔθεντο·

Καὶ οὐ δυστυχοῦντι μόνον

Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκὺ,

κατ' Εὐπίδην· ἀλλ' οὐδὲν ἧττον τοῖς ἀγαθοῖς ἡδονὴν ἐπιφέρου-
σα καὶ χάριν, ἢ τῶν κακῶν ἀφαιροῦσα τὰς λύπας καὶ τὰς
ἀπορίας παρέπεται. Καὶ καθάπερ ὁ Εὔηνος εἶπε, τῶν ἡδυ- 11
σμάτων τὸ πῦρ εἶναι κράτιστον, οὕτως τῷ βίῳ μίξας τὴν
φιλίαν ὁ Θεός, ἅπαντα φαιδρὰ καὶ γλυκέα καὶ προσηνῆ, ταύ-
της παρούσης καὶ συναπολαυούσης, ἐποίησεν. Ἐπεὶ πῶς ἂν ὁ 12
κόλαξ ὑπεδύετο ταῖς ἡδοναῖς, εἰ τὴν φιλίαν ἑώρα τὸ ἡδὺ μη-

---

4. Τὴν τότε πεῖραν οὐ δεῖ... ἀνωφελῆ...) Εὐριπίδῃ τὴν γνώμην ταύτην ὁ Πλούταρχος ἀλλαχοῦ ἀποδίδωσι, λέγων (ἐν β. Φαβ. Μαξίμου). «Οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησίν, οὐ σμικρὸν κακόν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν.» Ὁ δὲ παρὰ Στοβαίῳ Φιλήμων λέγει· «Εὔχου μὴ λαβεῖν πεῖραν φίλων.»

8. Τῷ προγεγεῦσθαι τῶν θανασίμων φαρμάκων, εἰς τὴν κρίσιν ἀπολλύντες ἑαυτοὺς καὶ διαφθείροντες) Τούτων οὐ πάνυ σαφῶν ὄντων, οὗτος ὁ νοῦς· διαφθείρουσιν ἑαυτούς, ἐνῷ τοῦτο προέθεντο τὸ δοκιμάσαι.

9. Τὸν φίλον εἰς τὸ καλὸν τιθέμενος καὶ ὠφέλιμον — κόλακας εἰλημμένους) Δὲν πρέπει δηλαδὴ νὰ ἀφαιρῶμεν ἀπὸ τὴν φιλίαν τὸ ἡδύ· διότι τρία τὰ συστατικὰ ταύτης· τὸ ἀγαθὸν καὶ καλόν, τὸ ἡδύ, τὸ ὠφέλιμον.

10. Χάριτές τε καὶ ἵμερος οἰκί' ἔθεντο) Ἡσιόδου ὁ στίχος ἐκ τῆς Θεογονίας 64.

— Κατ' Εὐριπίδην) Ἐξ Ἴων. 744. χρήσεται δὲ τῷ ῥητῷ τούτῳ ὁ Πλούταρχος καὶ παρακατιόν.

11. Εὔηνος εἶπε τῶν ἡδυσμάτων τὸ πῦρ εἶναι κράτιστον) Ὁ Ἡγήσανδρος παρ' Ἀθην. ιδ'. σελ. 564. λέγει· «Ἡγήσανδρος δ' ἐν τοῖς ὑπομνήμασι τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων· ἀπογενομένων γοῦν τούτων (τῶν ἡδυσμάτων). Οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας, οὐδὲ τὸν ἰχθύν, οὐδὲ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηδύντων.»

13 δαμοῦ προσιεμένην, οὐκ ἔστιν εἰπεῖν. Ἀλλ᾽ ὥσπερ τὰ ψευδό-
χρυσα καὶ τὰ κίβδηλα τῶν σκευῶν τὴν λαμπρότητα τοῦ χρυσοῦ
καὶ τὸ γάνωμα μιμεῖται μόνον, οὕτως ἔοικεν ὁ κόλαξ τοῦ φίλου
τὸ ἡδὺ καὶ κεχαρισμένον ἐκμιμούμενος ἀεὶ παρέχειν ἱλαρὸν καὶ
ἀνθηρὸν, καὶ πρὸς μηδὲν ἀντιβαίνοντα μηδ᾽ ὑπεναντιούμενον
14 ἑαυτόν. Ὅθεν οὐδὲ τοὺς ἐπαινοῦντας εὐθὺς, ὡς κολακεύοντας,
15 ἁπλῶς ὑφορατέον. Ἔπαινος γὰρ οὐχ ἧττον ἐν καιρῷ ψόγου
φιλίᾳ προσήκει. Μᾶλλον δὲ τὸ μὲν δύσκολον ὅλως καὶ μεμ-
ψίμοιρον ἄφιλον καὶ ἀνομίλητον· τῆς δ᾽ ἀφθόνως καὶ προθύμως
τὸν ἐπὶ τοῖς καλοῖς ἀποδιδούσης ἔπαινον εὐνοίας, καὶ τὸ νουθε-
τοῦν αὖθις καὶ παῤῥησιαζόμενον ἐλαφρῶς καὶ ἀλύπως ὑπομέ-
νουσι, πιστεύοντες καὶ ἀγαπῶντες ὡς ἀναγκαίως ψέγοντα τὸν
ἡδέως ἐπαινοῦντα.

γ΄. Χαλεπὸν οὖν, φαίη τις ἂν, ἔστι διακρῖναι τὸν κόλακα
καὶ τὸν φίλον, εἰ μήτε ἡδονῇ μήτε ἐπαίνῳ διαφέρουσι· καὶ γὰρ
ἐν ὑπουργίαις καὶ διακονίαις πολλάκις ἰδεῖν ἐστι τὴν φιλίαν ὑπὸ
2 τῆς κολακείας παρατρεχομένην. Τί δὲ οὐ μέλλει, φήσομεν; ἂν
τὸν ἀληθινὸν κόλακα καὶ μετὰ δεινότητος καὶ τέχνης ἁπτόμενον
τοῦ πράγματος διώκωμεν, ἀλλὰ μὴ, καθάπερ οἱ πολλοὶ, τοὺς
αὐτοληκύθους τούτους λεγομένους καὶ τραπέζας, καὶ μετὰ τὸ
κατὰ χεῖρας ὕδωρ ἀκουομένους, ὥς τις εἶπε, κόλακας νομί-
ζωμεν, ὧν ἐν μιᾷ λοπάδι καὶ κύλικι μετὰ βωμολοχίας καὶ
3 βδελυρίας ἡ ἀνελευθερία γίνεται κατάδηλος. Οὐ γὰρ δή που
Μελάνθιον ἔδει τὸν Ἀλεξάνδρου τοῦ Φεραίου παράσιτον ἐξε-
λέγχειν, ὃς τοῖς ἐρωτῶσι, πῶς Ἀλέξανδρος ἐσφάγη, Διὰ τῆς
πλευρᾶς, ἔλεγεν, εἰς τὴν γαστέρα τὴν ἐμήν· οὐδὲ τοὺς ἀμφὶ
πλουσίαν τράπεζαν ἐγκυκλουμένους, οὓς οὔτε πῦρ, οὐ σίδηρος,
4 οὐδὲ χαλκὸς εἴργει, μὴ φοιτᾷν ἐπὶ δεῖπνον. Οὐδὲ γὰρ τὰς ἐν
Κύπρῳ κολακίδας, ἐπειδὴ διέβησαν εἰς Συρίαν, κλιμακίδας προ-
σαγορευθείσας, ὅτι ταῖς γυναιξὶ τῶν βασιλέων ἀναβαίνειν ἐπὶ
τὰς ἁμάξας δι᾽ αὐτῶν ὑποκατακλινόμεναι παρεῖχον.

---

γ΄. 2. Τί δ᾽ οὐ μέλλει) Διατί ὄχι;

— Μετὰ τὸ κατὰ χεῖρας ὕδωρ) Ἀθήν. Θ΄. 408 σελ. λέγει. «Ἀριστοφάνης δὲ ὁ Γραμματικὸς ἐν τοῖς πρὸς τοὺς Καλλιμάχου πίνακας, χλευάζει τις οὐκ εἰδότας τὴν διαφορὰν τοῦ τε κατὰ χειρὸς καὶ τοῦ ἀπονίψασθαι. Παρὰ γὰρ τοῖς παλαιοῖς τὸ μὲν πρὸ ἀρίστου καὶ δείπνου λέγεσθαι κατὰ χειρὸς, τὸ δὲ μετὰ ταῦτα ἀπονίψασθαι.» Ἐκ τοῦ ἀνωτέρω δὲ παρατεθέντος χωρίου καὶ ἐξ ἄλλων δῆλον, ὅτι καὶ ἐνταῦθα κατὰ χειρὸς γραπτέον ἐστί.

3. Μελάνθιον τὸν Ἀλεξάνδρου τοῦ Φεραίου παράσιτον) Τὸν Μελάνθιον τοῦτον, ὅσον ἐνθυμοῦμαι (λέγει ὁ Βυττεμβάχιος) οὐδεὶς ἄλλος ἐκ τῶν ἀρχαίων ἀναφέρει. Περὶ δὲ τοῦ Ἀλεξάνδρου ἴδε Διόδ. Σικελ. ιέ. 61, 71, 75, 80, καὶ ις΄. 14. καὶ τὸν Πλούταρχ. Βίῳ Πελοπίδ. §. 26—30.

— Τοὺς ἀμφὶ πλουσίαν τράπεζαν . . . φοιτᾷν ἐπὶ δεῖπνον) Εὐπόλιδος τοῦτο, κωμῳδήσαντος τὸν Καλλίαν ἐν κόλαξι· πολλὴ δὲ ἡ χρῆσις αὐτοῦ ὡς παροιμιώδους.

δ΄. Τίνα οὖν δεῖ φυλάττεσθαι; τὸν μὴ δοκοῦντα μηδ' ὁμο-
λογοῦντα κολακεύειν· ὃν οὐκ ἔστι λαβεῖν περὶ τοὐπτανεῖον, οὐδὲ
ἁλίσκεται σκιὰν καταμετρῶν ἐπὶ δεῖπνον, οὐδ' ἔῤῥιπται μεθυ-
σθεὶς, ὅπως ἔτυχεν, ἀλλὰ νήφει τὰ πολλὰ, καὶ πολυπραγμονεῖ,
καὶ πράξεων μετέχειν οἴεται δεῖν, καὶ λόγων ἀποῤῥήτων βού-
λεται κοινωνὸς εἶναι, καὶ ὅλως τραγικός ἐστιν, οὐ σατυρικὸς
φιλίας ὑποκριτὴς, οὐδὲ κωμικός. Ὡς γὰρ ὁ Πλάτων φησὶν, 2
ἐσχάτης ἀδικίας εἶναι, δοκεῖν δίκαιον, μὴ ὄντα· καὶ κολακείαν
ἡγητέον χαλεπὴν τὴν λανθάνουσαν, οὐ τὴν ὁμολογοῦσαν, οὐδὲ τὴν
παίζουσαν, ἀλλὰ τὴν σπουδάζουσαν. Αὕτη γὰρ ἀναπίμπλησι 3
καὶ τὴν ἀληθινὴν φιλίαν ἀπιστίας, συνεμπίπτουσαν αὐτῇ
πολλάκις, ἂν μὴ προσέχωμεν. Ὁ μὲν οὖν Γωβρύης εἰς σκο- 4
τεινὸν οἴκημα τῷ μάγῳ φεύγοντι συνεισπεσὼν, καὶ γενόμενος
ἐν διαπάλαις, ἐπιστάντα καὶ διαποροῦντα τὸν Δαρεῖον, ἐ-
κέλευσεν ὠθεῖν καὶ δι' ἀμφοτέρων. Ἡμεῖς δὲ, εἰ μηδαμῆ 5
μηδαμῶς ἐπαινοῦμεν τὸ, Ἐῤῥέτω φίλος σὺν ἐχθρῷ, διὰ πολ-
λῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμπεπλεγμένον ἀπο-
σπάσαι ζητοῦντες, ὀφείλομεν εὖ μάλα φοβεῖσθαι, μή πως ἢ
τῷ κακῷ τὸ χρήσιμον συνεκβάλωμεν, ἢ φειδόμενοι τοῦ οἰ-
κείου τῷ βλάπτοντι περιπέσωμεν. Ὥσπερ γὰρ, οἶμαι, τῶν 6
ἀγρίων σπερμάτων ὅσα καὶ σχῆμα καὶ μέγεθος παραπλή-
σιον ἔχοντα τῷ πυρῷ συμμέμικται, χαλεπὴν ἔχει τὴν ἀ-
ποκάθαρσιν· ἢ γὰρ οὐ διεκπίπτει τῶν στενωτέρων πόρων, ἢ
συνεκπίπτει διὰ τῶν ἀραιῶν· οὕτως ἡ κολακεία τῇ φιλίᾳ εἰς
πᾶν πάθος καὶ πᾶν κίνημα καὶ χρείαν καὶ συνήθειαν ἑαυτὴν
ἀναμιγνύεισα, δυσχώριστός ἐστιν.

ε΄. Ὅτι μέντοι γε πάντων ἥδιστόν ἐστιν ἡ φιλία, καὶ οὐδὲν
ἄλλο μᾶλλον εὐφραίνει, διὰ τοῦτο καὶ ὁ κόλαξ ἡδοναῖς ὑπάγε-
ται καὶ περὶ ἡδονάς ἐστιν. Ὅτι δὲ ἡ χάρις καὶ ἡ χρεία τῇ 2
φιλίᾳ παρέπεται· καθ' ὃ δὴ καὶ λέγεται πυρὸς καὶ ὕδατος ὁ φί-
λος ἀναγκαιότερος εἶναι· διὰ τοῦτο ἐμβάλλων ἑαυτὸν εἰς τὰς
ὑπουργείας ὁ κόλαξ, ἁμιλλᾶται σπουδαστικὸς ἀεὶ φαίνεσθαι καὶ
ἄοκνος καὶ πρόθυμος. Ἐπειδὴ δὲ τὸ μάλιστα φιλίας ἀρχὴν 3
συνέχον καὶ συνιστάνον ὁμοιότης ἐστὶν ἐπιτηδευμάτων καὶ ἠθῶν,
καὶ ὅλως τὸ χαίρειν τοῖς αὐτοῖς, καὶ τὸ ταὐτὰ φεύγειν πρῶτον
εἰς ταὐτὸ συνάπτει καὶ συνίστησι διὰ τῆς ὁμοιοπαθείας· τοῦτο
κατιδὼν ὁ κόλαξ αὑτὸν ὥσπερ ὕλην τινὰ ῥυθμίζει, καὶ σχη-

δ΄. 4. Γωβρύης — Δαρεῖον ἐκέλευσεν ὠθεῖν) Ἴδε Ἡρόδ. Γ. 78.

5. Ἐῤῥέτω φίλος σὺν ἐχθρῷ) Τραγικοῦ τινος στίχος φαίνεται.

Βιβ. Δήμος Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ματίζει περιαρμόσαι καὶ περιπλάσαι ζητῶν, οἷς ἂν ἐπιχειρῇ διὰ μιμήσεως, ὑγρὸς ὢν καὶ πιθανὸς μεταβάλλεσθαι ἐπὶ τὰς ἐξομοιώσεις· ὥστ' εἰπεῖν,

Οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ.

4 Ὁ δὲ πάντων ἐστὶν αὐτοῦ πανουργότατον, αἰσθανόμενος τὴν παῤῥησίαν καὶ λεγομένην καὶ δοκοῦσαν ἰδίαν εἶναι φωνὴν ὥσπερ τινὸς ζώου τῆς φιλίας, τὸ δὲ ἀπαῤῥησίαστον ἄφιλον καὶ ἀγεννές, οὐδὲ ταύτην ἀμίμητον ἀπολέλοιπεν· ἀλλ' ὥσπερ οἱ δεινοὶ τῶν ὀψοποιῶν τοῖς πικροῖς χυμοῖς καὶ αὐστηροῖς ἡδύσμασι χρῶνται, τῶν γλυκέων ἀφαιροῦντες τὸ πλήσμιον· οὕτως οἱ κόλακες οὐκ ἀληθινὴν οὐδ' ὠφέλιμον, ἀλλ' οἷον ἐπιλλώπτουσαν ἐξ ὀφρύος καὶ γαργαλίζουσαν ἀτεχνῶς παῤῥησίαν προσφέρουσιν.
5 Ἔστι μὲν οὖν διὰ ταῦτα δυσφώρατος ὁ ἀνήρ, ὥσπερ τῶν θηρίων ὅσα πεφυκότα τὴν χρόαν τρέπεσθαι, συναφομοιοῦται τοῖς
6 ὑποκειμένοις ὑλήμασι καὶ χωρίοις. Ἐπεὶ δ' ἐκεῖνος ἐξαπατᾷ τε καὶ περικαλύπτεται ταῖς ὁμοιότησιν, ἡμέτερον ἔργον ἐστί, ταῖς διαφοραῖς ἀνακαλύπτειν καὶ ἀπογυμνοῦν αὐτόν, ἀλλοτρίοις χρώμασι καὶ σχήμασιν, ᾗ φησιν ὁ Πλάτων, χήτει οἰκείων κοσμούμενον.

ς´. Εὐθὺς οὖν ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν. Ἀρχὴν δὲ φιλίας ἔφαμεν εἶναι τοῖς πλείστοις, τὴν ταὐτὰ μὲν ἐπιεικῶς ἀσπαζομένην ἔθη καὶ ἤθη, τοῖς δὲ αὐτοῖς χαίρουσαν ἐπιτηδεύμασι καὶ πράγμασι καὶ διατριβαῖς, ὁμοιοπαθῆ διάθεσίν τε καὶ φύσιν, ἐφ' οἷς καὶ ταῦτα εἴρηται,

Γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει·
Παῖς παιδί, καὶ γυναικὶ πρόσφορον γυνή·
Νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
Ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

2 Εἰδὼς οὖν ὁ κόλαξ, ὅτι τὸ χαίρειν τοῖς ὁμοίοις καὶ τὸ χρῆσθαι καὶ ἀγαπᾷν ἔμφυτόν ἐστι, ταύτῃ πρῶτον ἐπιχειρεῖ πλησιάζειν ἑκάστῳ καὶ παρασκηνοῦν, ὥσπερ ἔν τισι νομαῖς θηρίου, τοῖς αὐτοῖς ἐπιτηδεύμασι καὶ διατριβαῖς περὶ ταὐτὰ καὶ σπουδαῖς καὶ διαίταις, ἀτρέμα παραβάλλων καὶ προσαναχρωννύμενος· ἄχρις οὗ λαβὴν παραδῷ, καὶ ψαύοντι τιθασὸς γένηται καὶ συνήθης, ψέ-

---

ε. 3. Οὐ παῖς Ἀχιλλέως) Παροιμιῶδες τόδε· χρῆται δὲ αὐτῷ ὁ Πλούτ. καὶ ἐν τῷ Ἀλκιβιάδου βίῳ. « Ἐν γοῦν τῇ Λακεδαίμονι πρὸς τὰ ἔξωθεν ἦν εἰπεῖν, οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος εἴη ἂν αὐτός, οἷον ἐπαίδευσε Λυκοῦργος. »

4. Ἐπιλλώπτουσαν) « Μὲ τὰς ὀφρῦς κυττάζω τινά » ἐκ τοῦ Ἴλλω, κινῶ· ὅθεν Ἴλλος ὀφθαλμοῦ καὶ « ἐπιλλίζω » εὐστρόφα τινὶ τείνω τὰ ὄμματα· ἔπειτα δὲ κατὰ πλεονάζουσαν σύνθεσιν ἐκ τοῦ « ὅτι τε Ἰλλώπτω. »

ς´. Γέρων γέροντι...) Τούς δε τοὺς στίχους, οἱ μὲν τῷ Μενάνδρῳ ἀποδιδοῦσι· Βαλκενῆρος δὲ ὁ σοφὸς τῷ Εὐριπίδῃ.

γων μὲν, οἷς ἐκεῖνον αἰσθάνεται πράγμασι καὶ βίοις καὶ ἀν-
θρώποις ἀχθόμενον, ἐπαινέτης δὲ τῶν ἀρεσκόντων οὐ μέτριος,
ἀλλ᾽ ὥστε ὑπερβάλλειν σὺν ἐκπλήξει καὶ θαύματι φαινόμενος·
βεβαιῶν δὲ τὸ φιλοῦν καὶ μισοῦν, ὡς κρίσει μᾶλλον ἢ πά-
θει γινόμενον.

ζ. Πῶς οὖν ἐλέγχεται, καὶ τίσιν ἁλίσκεται διαφοραῖς, οὐκ
ὢν ὅμοιος οὐδὲ γιγνόμενος, ἀλλὰ μιμούμενος ὅμοιον; Πρῶτον 2
μὲν ὁρᾷ δεῖ τὴν ὁμαλότητα τῆς προαιρέσεως καὶ τὸ ἐνδελε-
χές, εἰ χαίρει τε τοῖς αὐτοῖς ἀεὶ, καὶ ταὐτὰ ἐπαινεῖ, καὶ πρὸς
ἓν ἀπευθύνει καὶ καθίστησι παράδειγμα τὸν ἑαυτοῦ βίον, ὥς-
περ ἐλευθέρῳ φιλίας ὁμοιοτρόπου καὶ συνηθείας ἐραστῇ προσή-
κει. Τοιοῦτος γὰρ ὁ φίλος. Ὁ δὲ κόλαξ ἅτε δὴ μίαν ἑστίαν 3
ἤθους οὐκ ἔχων μόνιμον, οὐδὲ ἑαυτῷ βίον ζητῶν αἱρετὸν, ἀλλ᾽
ἑτέρῳ καὶ πρὸς ἕτερον πλάττων καὶ προσαρμόζων ἑαυτὸν, οὐχ
ἁπλοῦς, οὐδὲ εἷς, ἀλλὰ παντοδαπός ἐστι καὶ ποικίλος, εἰς ἄλ-
λον ἐξ ἄλλου τύπον, ὥσπερ τὸ μεταιρόμενον ὕδωρ, περιῤῥέον
ἀεὶ καὶ μετασχηματιζόμενον τοῖς ὑποδεχομένοις. Ὁ μὲν γὰρ 4
πίθηκος, ὡς ἔοικε, μιμεῖσθαι τὸν ἄνθρωπον ἐπιχειρῶν, ἁλίσκε-
ται συγκινούμενος καὶ συνορχούμενος· ὁ δὲ κόλαξ αὐτὸς ἑτέρους
ἐπάγεται καὶ παλεύει, μιμούμενος οὐχ ὁμοίως ἅπαντας, ἀλλὰ
τῷ μὲν συνορχούμενος καὶ συνᾴδων, τῷ δὲ συμπαλαίων καὶ
συγκονιούμενος· θηρευτικοῦ δὲ καὶ κυνηγετικοῦ λαβόμενος,
μονονοὺ τὰ τῆς Φαίδρας ἀναβοῶν ἕπεται,

Πρὸς θεῶν ἔραμαι κυσὶ θωΰξαι
Βαλιαῖς ἐλάφοις ἐγχριπτόμενος·

καὶ οὐδὲν αὐτῷ πρᾶγμα πρὸς τὸ θηρίον, ἀλλ᾽ αὐτὸν ἐκσαγηνεύ-
ει καὶ περιβάλλεται τὸν κυνηγόν. Ἂν δὲ θηρεύῃ φιλολόγον καὶ 5
φιλομαθῆ νέον, αὖθις ἐν βιβλίοις ἐστὶ, καὶ πώγων, ποδήρης
καθεῖται, καὶ τριβωνοφορία τὸ σχῆμα, καὶ ἀδιαφορία, καὶ διὰ

---

ζ΄. 2. Τὴν ὁμαλότητα) σημαίνει τὸ ὁμαλὸς τὸν ἑαυτῷ ὅμοιον τὸν μὴ μεταβαλλόμενον.

3. Μεταιρόμενον) Τοῦτο δηλοῖ τὸ μετακομίζω· ὁ δὲ Βυττεμβάχιος προκρίνει ἀντὶ ταύτης τῆς γραφῆς ὁποιανδήποτε ἐκ τῶν ἑπομένων διορθώσεων· «μεταιωρούμενον, μεταρυόμενον, μεταχεόμενον.»

4. Ὁ μὲν γὰρ πίθηκος) Ταῦτα ἱστοροῦσιν ὅτε Πλούταρχος καὶ Ἀριστοτέλης περὶ τῆς θήρας τοῦ πτηνοῦ ὦτος καλουμένου, εἴτε νυχτικόραξ.

— Τὰ τῆς Φαίδρας) Εὐριπίδου οἱ στίχοι ἐκ τοῦ Ἱππολύτου 218 στίχ.

5. Πώγων ποδήρης καθεῖται) Γνώρισμα παρὰ τοῖς ἀρχαίοις τῶν φιλοσοφούντων ἡ γενειάς· ὁμοίως δὲ καὶ ἡ τριβωνοφορία.

— Καὶ ἀδιαφορία) Ἂν τοῦτο πρὸς τὸ προηγούμενον «σχῆμα» ἢ πρὸς τὸ ἑπόμενον «διὰ στόματος,» ἀναφέρεται, δὲν εἶνε σαφής· καὶ ἐὰν τὸ πρῶτον σημαίνει· ἡ ἐνδυμασία αὐτοῦ σύγκειται ἐκ τρίβωνος, ἀδιαφορεῖ δὲ πρὸς τὸ εἶδος· ἐὰν δὲ τὸ δεύτερον, ὅ περ καὶ κρεῖττον, (ἀλλὰ τότε πρέπει νὰ ἐξαλείψωμεν τὸν «καὶ,» τοῦ, διὰ στόματος) ὁ νοῦς ὁ μιλεῖ δὲ συνεχῶς περὶ ἀδιαφορίας, ἀριθμοῦ, κλπ.

στόματος οἵ τε ἀριθμοί, καὶ τὰ ὀρθογώνια καὶ τρίγωνα Πλάτωνος. Εἴτε ῥᾴθυμός τις ἐμπέπτωκεν αὖθις καὶ φιλοπότης καὶ πλούσιος,

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς.

ἔῤῥιπται μὲν ὁ τρίβων, κατακείρεται δ' ὁ πώγων, ὥσπερ ἄκαρπον θέρος, ψυκτῆρες δὲ καὶ φιάλαι καὶ γέλωτες ἐν περιπάτοις,
6 καὶ σκώμματα πρὸς τοὺς φιλοσοφοῦντας. Ὥσπερ ἐν Συρακούσαις φασὶν, ὁπηνίκα Πλάτων ἀφίκετο, καὶ Διονύσιον ζῆλος ἔσχε περιμανὴς φιλοσοφίας, τὰ βασίλεια κονιορτοῦ γέμειν ὑπὸ πλήθους τῶν γεωμετρούντων· ἐπεὶ δὲ προσέκρουσε Πλάτων, καὶ Διονύσιος ἐκπεσὼν φιλοσοφίας, πάλιν εἰς πότους καὶ γύναια, καὶ τὸ ληρεῖν καὶ ἀκολασταίνειν ἧκε φερόμενος, ἀθρόως ἅπαντας, ὥσπερ ἐν Κίρκης, μεταμορφωθέντας, ἀμουσία καὶ λήθη καὶ εὐ-
7 ήθεια κατέσχε. Μαρτυρεῖ δὲ καὶ τὰ τῶν μεγάλων ἔργα κολάκων, καὶ τὰ τῶν δημαγωγῶν, ὧν ὁ μέγιστος Ἀλκιβιάδης, Ἀθήνησι μὲν σκώπτων καὶ ἱπποτροφῶν, καὶ μετὰ εὐτραπελίας ζῶν καὶ χάριτος· ἐν δὲ Λακεδαίμονι κειρόμενος ἐν χρῷ, καὶ τριβωνοφορῶν καὶ ψυχρολουτῶν· ἐν δὲ Θρᾴκῃ πολεμῶν καὶ πίνων· ἐπεὶ δὲ πρὸς Τισσαφέρνην ἀφίκετο, τρυφῇ καὶ ἁβρότητι καὶ ἀλαζονείᾳ χρώμενος, ἐδημαγώγει καὶ καθωμίλει τῷ συναφομοιοῦν
8 καὶ συνοικειοῦν ἑαυτὸν ἅπασιν. Οὐ μὴν τοιοῦτος Ἐπαμεινώνδας, οὐδ' Ἀγησίλαος, ἀλλὰ πλείστοις ὁμιλήσαντες ἀνθρώποις καὶ πόλεσι καὶ βίοις, τὸ προσῆκον ἦθος αὐτοῖς πανταχοῦ, καὶ στολῇ
9 καὶ διαίτῃ, καὶ λόγῳ καὶ βίῳ διεφύλαττον. Οὕτω καὶ Πλάτων ἐν Συρακούσαις, οἷος ἐν Ἀκαδημίᾳ, καὶ πρὸς Διονύσιον, οἷος πρὸς Δίωνα.

ή. Τὰς δὲ τοῦ κόλακος, ὥσπερ πολύποδος, τροπὰς ῥᾷστα φωράσειεν ἄν τις, αὐτὸς ἐπὶ πολλὰ δοκῶν τρέπεσθαι, καὶ ψέγων μὲν, ὃν ἐπῄνει πρότερον βίον, οἷς δὲ ἤχθετο πράγμασιν ἢ διαί-
2 ταις, ἢ λόγοις, ὡς ἀρέσκοντας ἐξαίφνης προσιέμενος. Ὄψεται γὰρ αὐτὸν οὐδαμοῦ βέβαιον, οὐδ' ἴδιον, οὐδ' οἰκείῳ πάθει φιλοῦντα καὶ μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον, ἀλλὰ δίκην κατόπτρου, παθῶν ὀθνείων καὶ βίων καὶ κινημάτων εἰκόνας ἀ-
3 ναδεχόμενον. Τοιοῦτος γὰρ, οἷος, εἰ ψέγοις τινὰ τῶν φίλων πρὸς αὐτὸν, εἰπεῖν, Βραδέως πεφώρακας τὸν ἄνθρωπον· ἐμοὶ μὲν γὰρ οὐδὲ πρότερον ἤρεσκεν. Ἂν δ' αὖ πάλιν ἐπαινῇς μεταβαλλόμενος, Νὴ Δία φήσει συνήδεσθαι καὶ χάριν ἔχειν αὐτὸς ὑπὲρ τοῦ
4 ἀνθρώπου, καὶ πιστεύειν. Ἂν δὲ βίον ἀλλακτέον ἕτερον εἴποις, οἷον εἰς ἀπραγμοσύνην καὶ ἡσυχίαν ἐκ πολιτείας μεταβαλλόμενος, Πάλαι γε ἐχρῆν, φησὶ, θορύβων ἡμᾶς ἀπηλλάχθαι καὶ φθόνων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΑΝΤΗΣ Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἂν δὲ πάλιν ὁρμᾶν δοκῇς ἐπὶ τὸ πράττειν καὶ λέγειν, ὑπεφώ- 5
νησεν, »Ἄξια σαυτοῦ φρονεῖς« ἡ δ' ἀπραγμοσύνη γλυκὺ μὲν, ἀλλ'
ἄδοξον καὶ ταπεινόν. Εὐθὺς οὖν λέγειν χρὴ πρὸς τὸν τοιοῦτον, 6

> Ἀλλοῖός μοι, ξεῖν', ἐφάνης νέον, ἠὲ πάροιθεν.

Οὐ δέομαι φίλου συμμεθισταμένου καὶ συνεπινεύοντος· ἡ γὰρ
σκιὰ ταῦτα ποιεῖ μᾶλλον· ἀλλὰ συναληθεύοντος καὶ συνεπικρί-
νοντος. Εἷς μὲν οὖν τῶν ἐλέγχων τρόπος τοιοῦτός ἐστιν. 7

Ϛ. Ἑτέραν δὲ δεῖ ταῖς ὁμοιώσεσι τοιαύτην παραφυλάττειν
διαφοράν. Ὁ μὲν ἀληθὴς φίλος οὔτε μιμητής ἐστι πάντων, οὔτ' 2
ἐπαινέτης πρόθυμος, ἀλλὰ τῶν ἀρίστων μόνων.

> Οὐ γὰρ συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυ,

κατὰ τὸν Σοφοκλέα· καὶ νὴ Δία γε συγκατορθοῦν καὶ συμφιλο- 3
καλεῖν, οὐ συναμαρτάνειν, οὐδὲ συῤῥᾳδιουργεῖν· ἂν μή τις οἷον
ὀφθαλμίας ἀποῤῥοὴ, καὶ ἀνάχρωσις ἄκοντα δι' ὁμιλίαν καὶ συ-
νήθειαν ἀναπλήσῃ φαυλότητος ἢ πλημμελείας τινός· ὥς που καὶ
Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις τὸ ἐπίκυρτον, Ἀριστο-
τέλους δὲ τὸν τραυλισμὸν, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως τὴν ἔγκλι-
σιν τοῦ τραχήλου, καὶ τὴν ἐν τῷ διαλέγεσθαι τραχύτητα τῆς φω-
νῆς. Τὰ γὰρ πολλὰ λανθάνουσιν ἔνιοι καὶ ἀπὸ τῶν ἠθῶν καὶ
ἀπὸ τῶν βίων ἀναλαμβάνοντες. Ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τοῦ 4
χαμαιλέοντος πέπονθεν. Ἐκεῖνός τε γὰρ ἁπάσῃ χροιᾷ πλὴν τοῦ 5
λευκοῦ συναφομοιοῦται· καὶ ὁ κόλαξ ἐν τοῖς ἀξίοις σπουδῆς ὅμοιον
ἑαυτὸν ἐξαδυνατῶν παρέχειν, οὐδὲν ἀπολείπει τῶν αἰσχρῶν ἀμί-
μητον. Ἀλλ', ὥσπερ οἱ φαῦλοι ζωγράφοι τῶν καλῶν ἐφικνεῖσθαι 6
μὴ δυνάμενοι δι' ἀσθένειαν, ἐν ῥυτίσι καὶ φακοῖς καὶ οὐλαῖς
τὰς ὁμοιότητας ἀναφέρουσιν· οὕτως ἀκρασίας γίνεται μιμητὴς,
δεισιδαιμονίας, ἀκροχολίας, πικρίας πρὸς οἰκέτας, ἀπιστίας
πρὸς οἰκείους καὶ συγγενεῖς. Φύσει τε γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὰ
χείρονα κατάντης ἐστὶ, καὶ δοκεῖ ποῤῥωτάτω τοῦ ψέγειν, τὸ
αἰσχρὸν εἶναι μιμούμενος. Ὕποπτοι γὰρ οἱ τὰ βελτίω ζητοῦν- 7
τες καὶ δοκοῦντες ἄχθεσθαι καὶ δυσκολαίνειν τοῖς ἁμαρτήμασι
τῶν φίλων· ὃ δὴ καὶ Διονυσίῳ Δίωνα, καὶ Σάμιον Φιλίππῳ,
καὶ Κλεομένη Πτολεμαίῳ διέβαλεν καὶ ἀπώλεσεν. Ὁ δὲ βου- 8
λόμενος εἶναι καὶ δοκεῖν ὁμοίως ἡδὺς ἅμα καὶ πιστὸς, ὡς ὑπὸ

---

Ϛ'. 2. Οὐ γὰρ συνέχθειν) Ἐκ τῆς Σοφοκλέους Ἀντιγόνης 533. στίχ.

3. Ὀφθαλμίας ἀποῤῥοὴ) Πολλὴ ἡ χρῆσις τῆς παρωμοιώσεως ταύτης, ὑπὸ Πλάτωνος τὸ πρῶτον ἐν Φαίδρῳ ἐξενεχθείσης.

7. Σάμιον Φιλίπ.) Τὸν Δημητρίου υἱὸν Πατέρα δὲ τοῦ Περσέως τελευταίου τῆς Μακεδονίας βασιλέως, ἐννοεῖ ἐνταῦθα.

— Κλεομένης) Βασιλεὺς τῆς Σπάρτης οὗτος, ὑπὸ τοῦ Δώσοντος Ἀντιγόνου νικηθεὶς ἐν Σελλασίῳ, Ὀλ. 193, 3. Πλείονα ἴδε περὶ τούτου παρὰ Πολυβ. Β. 35—39. Καὶ παρὰ Πλουτάρχ. ἐν βίῳ αὐτοῦ·

τοῦ σφόδρα φιλεῖν οὐδὲ τὰ φαῦλα δυσχαιραίνων, ἀλλὰ συμπαθὴς
9 πᾶσι καὶ συμφυὴς γινόμενος. Ὅθεν οὐδὲν τῶν ἀβουλήτων
καὶ τυχηρῶν ἀμοιρεῖν ἀξιοῦσιν, ἀλλὰ καὶ νοσεῖν ὅμοια προσ-
ποιοῦνται, κολακεύοντες τοὺς νοσώδεις, καὶ μήτε βλέπειν
ὀξύ, μήτε ἀκούειν, ἂν ὑποτύφλοις ἢ ὑποκώφοις συνῶσιν· ὥς
περ οἱ Διονυσίου κόλακες ἀμβλυωποῦντος, ἐμπίπτοντες τ᾽ ἀλ-
10 λήλοις, καὶ τὰς παροψίδας ἐν τῷ δειπνεῖν καταβάλλοντες. Ἔνιοι
δὲ καὶ μᾶλλον ἁπτόμενοι τῶν παθῶν, ἐνδοτέρω ποιοῦσιν ἑαυτούς,
καὶ καταμιγνύουσιν ἄχρι τῶν ἀποῤῥήτων τὰς ὁμοιοπαθείας.
11 Αἰσθόμενοι γὰρ ἢ περὶ γάμον δυστυχοῦντας, ἢ πρὸς υἱούς, ἢ
πρὸς οἰκείους ὑπόπτως ἔχοντας, αὐτοὶ σφῶν αὐτῶν ἀφειδοῦσι, καὶ
ἀποδύρονται περὶ τέκνων ἰδίων, ἢ γυναικός, ἢ συγγενῶν, ἢ οἰ-
12 κείων, αἰτίας τινὰς ἀποῤῥήτους ἐξαγορεύοντες. Ἡ γὰρ ὁμοιότης
συμπαθεστέρους ποιεῖ, καὶ μᾶλλον ὥσπερ ὅμηρα δεδεγμένοι,
προΐενταί τι τῶν ἀποῤῥήτων αὐτοῖς, προέμενοι δὲ χρῶνται, καὶ
13 δεδίασιν ἐγκαταλιπεῖν τὴν πίστιν. Ἐγὼ δὲ οἶδα καὶ συνεκβα-
λόντα γαμετήν, ὡς ὁ φίλος ἀπεπέμψατο τὴν ἑαυτοῦ· κρύφα δὲ
φοιτῶν πρὸς αὐτὴν καὶ διαπεμπόμενος, ἐφωράθη, συναισθομέ-
14 νης τῆς τοῦ φίλου γυναικός. Οὕτως ἄπειρος ἦν κόλακος ὁ νο-
μίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ κόλακι μᾶλλον ἢ τῷ καρκίνῳ
προσήκειν

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῇ βλέπων
Ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

παρασίτου γὰρ ὁ τοιοῦτος εἰκονισμός ἐστι.

Τῶν περὶ τάγηνον καὶ μετ᾽ ἄριστον φίλων.

ὡς Εὔπολίς φησιν.

ι. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν εἰς τὸν οἰκεῖον ἀναθώμεθα τοῦ
λόγου τόπον. Ἐκεῖνο δὲ μὴ παρῶμεν ἐν ταῖς μιμήσεσι τὸ σόφι-
σμα τοῦ κόλακος, ὅτι, κἂν τῶν καλῶν τι μιμῆται τοῦ κολακευο-
2 μένου, διαφυλάττει τὴν ὑπεροχὴν ἐκείνῳ. Τοῖς μὲν γὰρ ἀλη-
θῶς φίλοις οὔτε ζῆλος οὐδείς ἐστι πρὸς ἀλλήλους, οὔτε φθόνος,
ἀλλά, κἂν ἴσον ἔχωσιν ἐν τῷ κατορθοῦν, κἂν ἔλαττον, ἀνεπα-
3 χθῶς καὶ μετρίως φέρουσιν. Ὁ δὲ κόλαξ ἀεὶ μνημονεύων τοῦ
τὰ δεύτερα λέγειν, ὑφίεται τῇ ὁμοιότητι τῆς ἰσότητος, ἡττᾶσθαι
4 πανταχοῦ καὶ ἀπολείπεσθαι, πλὴν τῶν φαύλων, ὁμολογῶν. Ἐν

9. Οἱ Διονυσίου κόλακες) Τὸν νεώτερον Διονύσιον ἐννοεῖ ἐνταῦθα, τὸν ὑπὸ τοῦ οἴνου διαφθαρέντα τὰς ὄψεις. Οἱ δὲ κατάπτυστοι οὗτοι κόλακες Διονυσοκόλακες ἐκλήθησαν.

ι, 3. Τὰ δεύτερα λέγειν) Τοῦ δευτέρου ἀγωνιστοῦ τὸ προσωπεῖον ὑποκρίνεσθαι. «Τὰ δεύτερ᾽ ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν, τὴν δ᾽ ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρα ἔχειν.» στίχος τοῦ Μενάνδρου.

— Ὑφίεται τῇ ὁμοιότητι τῆς ἰσότητος) ἀρκούμενος νὰ φαίνηται ὅμοιος, ὑπόφερε νὰ νικᾶται· κατὰ δὲ τὴν σύνταξ. ὅμοιον τοῦ «τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος.»

δὲ τοῖς φαύλοις οὐ παρίησι τὸ πρωτεῖον, ἀλλά φησιν, ἂν ἐκεῖνος
ᾖ δύσκολος, αὐτὸν εἶναι μελαγχολικόν· ἂν ἐκεῖνος δεισιδαίμων,
αὐτὸν θεοφόρητον· ἐρᾷν ἐκεῖνον, μαίνεσθαι δ' αὐτόν· ἀκαίρως,
φησὶν, ἐγέλας, ἐγὼ δ' ἐξέθνησκον ὑπὸ τοῦ γέλωτος. Ἀλλ' ἔν γε 5
τοῖς χρηστοῖς τοὐναντίον, αὐτός φησι ταχέως τρέχειν, ἵπτασθαι
δ' ἐκεῖνον· αὐτὸς ἱππεύειν ἐπιεικῶς, ἀλλὰ τί πρὸς τὸν ἱπποκέν-
ταυρον τοῦτον; εὐφυὴς εἰμὶ ποιητὴς, καὶ στίχον οὐ φαυλότατον
γράφων·

Βροντᾷν δ' οὐκ ἐμὸν, ἀλλὰ Διός.

Ἅμα γὰρ αὐτοῦ δοκεῖ καὶ τὴν προαίρεσιν ἀποφαίνειν καλὴν 6
μιμούμενος, καὶ τὴν δύναμιν ἀνέφικτον ἡττώμενος. Ἐν μὲν οὖν
ταῖς ἐξομοιώσεσι τοιαῦταί τινές εἰσιν αἱ τοῦ κόλακος διαφοραὶ
πρὸς τὸν φίλον.

ια'. Ἐπεὶ δὲ, ὥσπερ εἴρηται, καὶ τὸ τῆς ἡδονῆς κοινόν ἐστι.
χαίρει γὰρ οὐχ ἧττον τοῖς φίλοις ὁ χρηστὸς, ἢ τοῖς κόλαξιν ὁ
φαῦλος· φέρε καὶ τοῦτο διορίσωμεν. Ἔστι δὲ διορισμὸς, ἡ πρὸς τὸ 2
τέλος ἀναφορὰ τῆς ἡδονῆς· σκόπει δὲ οὕτως. Ἔνεστι μέν που
τῷ μύρῳ τῷ εὐῶδες· ἔνεστι δ' ἐν ἀντιδότῳ. Διαφέρει δὲ, ὅτι 3
τοῦτο μὲν πρὸς ἡδονὴν καὶ πρὸς οὐδὲν ἕτερον γέγονεν, ἐκεῖ δὲ
τὸ καθαῖρον, ἢ τὸ θερμαῖνον, ἢ τὸ σαρκοῦν τῆς δυνάμεως,
ἄλλως εὐῶδές ἐστι. Πάλιν οἱ γραφεῖς ἀνθηρὰ χρώματα καὶ 4
βάμματα μιγνύουσιν· ἔστι δὲ καὶ τῶν ἰατρικῶν φαρμάκων ἔνια
τὴν ὄψιν ἀνθηρὰ καὶ τὴν χρόαν οὐκ ἀπάνθρωπον ἔχοντα· τί τοί-
νυν διαφέρει; ἢ δῆλον, ὅτι τῷ τέλει τῆς χρείας διακρινοῦμεν.
Οὐκοῦν ὁμοίως αἱ μὲν τῶν φίλων χάριτες ἐπὶ καλῷ τινι καὶ ὠ- 5
φελίμῳ τὸ εὐφραῖνον, ὥσπερ ἐπανθοῦν, ἔχουσιν· ἔστι δ' ὅτε καὶ
παιδιᾷ καὶ τραπέζῃ καὶ οἴνῳ, καὶ νὴ Δία γέλωτι καὶ φλυαρίᾳ
πρὸς ἀλλήλους, οἷον ἡδύσμασιν ἐχρήσαντο τῶν καλῶν καὶ σπου-
δαίων· πρὸς ὃ δὴ καὶ λέλεκται τὸ,

Μύθοισιν τέρποντο πρὸς ἀλλήλους ἐνέποντες.

Καὶ τὸ,

— Οὐδέ κεν ἄλλο
Ἄμμε διέκρινε φιλέοντέ τε τερπομένω τε.

Τοῦ δὲ κόλακος τοῦτ' ἔργον ἐστὶ καὶ τέλος, ἀεί τινα παιδιὰν ἢ 6
πρᾶξιν ἢ λόγον ἐφ' ἡδονῇ καὶ πρὸς ἡδονὴν ὀψοποιεῖν καὶ κα-
ρυκεύειν. Συνελόντι δ' εἰπεῖν, ὁ μὲν, ἵνα ἡδὺς ᾖ, πάντα δεῖν 7
οἴεται ποιεῖν· ὁ δ' ἀεὶ ποιῶν, ἃ δεῖ, πολλάκις μὲν ἡδὺς, πολλάκις
δὲ ἀηδής ἐστιν, οὐ τοῦτο βουλόμενος, εἰ δὲ βέλτιον εἴη, μηδὲ
τοῦτο φεύγων. Ὥσπερ γὰρ ἰατρὸς, ἂν συμφέρῃ, κρόκον καὶ νάρ- 8
δον ἐπέβαλε, καὶ νὴ Δία πολλάκις ἔλουσε προσηνῶς καὶ ἔθρεψε
φιλανθρώπως· ἔστι δὲ ὅπου ταῦτα ἐάσας, καστόριον ἐνέσεισεν,

Ἢ πόλιον βαρύοσμον, ὃ δὴ ῥίγιστον ὄδωδεν,

ἤ τινα ἐλλέβορον ἐκπιεῖν τρίψας ἠνάγκασεν, οὔτε ἐνταῦθα τὸ ἀηδὲς, οὔτε ἐκεῖ τὸ ἡδὺ ποιούμενος τέλος, ἀλλ' ἐφ' ἓν δι' ἀμφοτέρων ἐπὶ τὸ συμφέρον ἄγων τὸν θεραπευόμενον· οὕτως ὁ φίλος ἔστι μὲν ὅτε σὺν ἐπαίνῳ καὶ χάριτι μεγαλύνων ἀεὶ καὶ εὐφραίνων, ἄγει πρὸς τὸ καλόν, ὥσπερ οὗτος,

Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
Βάλλ' οὕτω. —

Καί,

— Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;

9 Ὅπου δ' αὖ πάλιν ἐπιστροφῆς δεῖται, καὶ λόγῳ δήκτῃ καὶ παῤῥησίᾳ κηδεμονικῇ καθαπτόμενος,

Ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ
Ταύτης ἀφροσύνης. —

Ἔστι δ' ὅπου καὶ τὸ ἔργον ἅμα τῷ λόγῳ συνῆψεν, ὡς Μενέδημος Ἀσκληπιάδου τοῦ φίλου τὸν υἱὸν ἄσωτον ὄντα καὶ ἄτακτον ἀποκλείων, καὶ μὴ προσαγορεύων, ἐσωφρόνισε· καὶ Βάττῳ τὴν σχολὴν ἀπεῖπεν Ἀρκεσίλαος, ὅτε πρὸς Κλεάνθην στίχον ἐποίησεν ἐν κωμῳδίᾳ· πείσαντος δὲ τὸν Κλεάνθην καὶ μεταμε-
10 λομένου διηλλάγη. Δεῖ γὰρ ὠφελοῦντα λυπεῖν τὸν φίλον, οὐ δεῖ δὲ λυποῦντα τὴν φιλίαν ἀναιρεῖν· ἀλλ' ὡς φαρμάκῳ τῷ δάκνοντι χρῆσθαι, σώζοντι καὶ φυλάττοντι τὸ θεραπευόμενον. Ὅθεν ὥσπερ ἁρμονικὸς, ὁ φίλος τῇ πρὸς τὸ καλὸν καὶ συμφέρον μεταβολῇ, τὰ μὲν ἐνδιδοὺς, τὰ δ' ἐπιτείνων πολλάκις μὲν ἡδὺς,
11 ἀεὶ δὲ ὠφέλιμός ἐστι. Ὁ δὲ κόλαξ, ἀφ' ἑνὸς διαγράμματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέκειν, οὔτε ἔργον οἶδεν ἀντιτεῖνον, οὔτε ῥῆμα λυποῦν, ἀλλὰ μόνῳ παρέπεται τῷ βουλο-
12 μένῳ, συνᾴδων ἀεὶ καὶ συμφθεγγόμενος. Ὥσπερ οὖν τὸν Ἀγησίλαον ὁ Ξενοφῶν ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων, οὕτω δεῖ τὸ εὐφραῖνον καὶ χαριζόμενον ἡγεῖσθαι φιλικόν, ἂν καὶ λυπεῖν ποτε δύνηται καὶ ἀντιτείνειν· τὴν δὲ συνεχῆ ταῖς ἡδοναῖς καὶ τῷ πρὸς χάριν ἄκρατον ἀεὶ καὶ ἄδηκτον ὁμιλίαν ὑπονοεῖν, καὶ νὴ Δία τὸ τοῦ Λάκωνος ἔχειν πρόχειρον ὃς ἐπαινουμένου Χαρίλλου τοῦ βασιλέως, «Πῶς οὗτος, ἔφη, χρηστὸς, ὃς οὐδὲ τοῖς πονηροῖς πικρός ἐστι;»

ιϐ. Τοῖς μὲν οὖν ταύροις τὸν οἶστρον ἐνδύεσθαι παρὰ τὸ οὖς λέγουσι, καὶ τοῖς κυσὶ τὸν κρότωνα· τῶν δὲ φιλοτίμων ὁ κόλαξ τὰ ὦτα κατέχων τοῖς ἐπαίνοις, καὶ προσπεφυκὼς, δυσαπό-
2 τριπτός ἐστιν. Ὅθεν ἐνταῦθα δεῖ μάλιστα τὴν κρίσιν ἔχειν ἐγρηγορυῖαν καὶ παραφυλάττουσαν, πότερον τοῦ πράγματος ἢ τοῦ

ια. 8. Ἢ πόλιν βαρύοσμεν) Νικάνδρ. Θηριακ. 64. »Μενέδημος Ἀσκληπιάδου·« Ἐρετριεὺς φιλόσοφος ὁ Μενέδ. ὁ δὲ Βάττος, παρ' ἄλλοις Βάθω, κωμικὸς ποιητής.

ἀνδρὸς ὁ ἔπαινός ἐστιν. Ἔστι δὲ τοῦ πράγματος, ἂν ἀπόντας 3
μᾶλλον ἢ παρόντας ἐπαινῶσιν· ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ βουλόμενοι, καὶ ζηλοῦντες μὴ μόνους ἡμᾶς, ἀλλὰ πάντας ἐπὶ τοῖς ὁμοίοις, μὴ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία πράττοντες, καὶ λέγοντες· τὸ δὲ μέγιστον, ἂν αὐτοὶ γινώσκωμεν ἑαυτοὺς μὴ μεταμελομένους, ἐφ' οἷς ἐπαινούμεθα, μηδὲ αἰσχυνομένους, μηδὲ μᾶλλον ἡμῖν τἀναντία τούτων πεπρᾶχθαι καὶ λελέχθαι βουλομένους.
Ἡ γὰρ οἴκοθεν κρίσις ἀντιμαρτυροῦσα, καὶ μὴ προσδεχομένη 4
τὸν ἔπαινον, ἀπαθής ἐστι καὶ ἄθικτος, καὶ ὑπὸ τοῦ κολακεύον-
τος ἀνάλωτος. Ἀλλ' οὐκ οἶδ' ὅπως οἱ πολλοὶ τὰς μὲν ἐπὶ τοῖς 5
ἀτυχήμασι παρηγορίας οὐχ' ὑπομένουσιν, ἀλλὰ μᾶλλον ὑπὸ τῶν συνεπιθρηνούντων ἄγονται καὶ συνοδυρομένων· ὅταν δ' ἁμαρτάνωσι καὶ πλημμελῶσιν, ὁ μὲν ἐλέγχῳ καὶ ψόγῳ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν, ἐχθρὸς δοκεῖ καὶ κατήγορος, τὸν δ' ἐπαινοῦντα καὶ κατευλογοῦντα τὰ πεπραγμένα, ἀσπάζονται καὶ νομίζουσιν
εὔνουν καὶ φίλον. Ὅσοι μὲν οὖν ἢ πρᾶξιν, ἢ λόγον, ἢ σπουδά- 6
σαντος ὁτιοῦν, ἢ σκώψαντος, εὐχερῶς ἐπαινοῦσι καὶ συνεπικροτοῦσιν, εἰς τὸ παρόν εἰσιν οὗτοι καὶ τὰ ὑπὸ χεῖρα βλαβεροὶ μόνον. Ὅσοι δὲ πρὸς τὸ ἦθος ἐξικνοῦνται τοῖς ἐπαίνοις, καὶ νὴ Δία τοῦ τρόπου τῇ κολακείᾳ θιγγάνουσι, ταὐτὸ ποιοῦσι τῶν οἰκετῶν τοῖς μὴ ἀπὸ τοῦ σωροῦ κλέπτουσιν, ἀλλ' ἀπὸ τοῦ σπέρ-
ματος. Σπέρμα γὰρ τῶν πράξεων οὖσαν τὴν διάθεσιν, καὶ τὸ ἦ- 7
θος ἀρχὴν καὶ πηγὴν τοῦ βίου, διαστρέφουσι, τὰ τῆς ἀρετῆς
ὀνόματα τῇ κακίᾳ περιθέντες. Ἐν μὲν γὰρ ταῖς στάσεσι καὶ τοῖς 8
πολέμοις ὁ Θουκυδίδης φησίν, ὅτι τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει· τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθής, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα· καὶ
τὸ πρὸς ἅπαν συνετὸν, ἐπὶ πᾶν ἀργόν. Ἐν δὲ ταῖς κολακείαις 9
ὁρᾷν χρὴ καὶ παραφυλάττειν ἀσωτίαν μὲν, ἐλευθεριότητα καλουμένην· καὶ δειλίαν, ἀσφάλειαν· ἐμπληξίαν δὲ, ὀξύτητα· μικρολογίαν δὲ, σωφροσύνην· τὸν δ' ἐρωτικὸν, φιλοσυνήθη καὶ φιλόστοργον· ἀνδρεῖον δὲ, τὸν ὀργίλον καὶ ὑπερήφα-
νον· φιλάνθρωπον δὲ, τὸν εὐτελῆ καὶ ταπεινόν. Ὥς που καὶ 10
Πλάτων φησὶ τὸν ἐραστὴν κόλακα τῶν ἐρωμένων ὄντα, τὸν μὲν σιμὸν, καλεῖν ἐπίχαριν· τὸν δὲ γρυπὸν, βασιλικόν· μέλανας δὲ, ἀνδρικούς· λευκοὺς δὲ, θεῶν παῖδας· τὸ δὲ μελίχρουν, ὅλως ἐραστοῦ προσποίημα εἶναι, ὑποκοριζομένου καὶ εὐκόλως φέρον-

§. 8. Θουκυδίδης) Γ, 82.



Ε.Υ.Δ. τ.Φ.Κ. τ.Ι.
ΙΩΑΝΝΙΝΑ 2006

11 τος τὴν ψυχρότητα. Καί τοι καλὸς μὲν εἶναι πεισθεὶς ὁ αἰσχρὸς,
ἢ μέγας ὁ μικρὸς, οὔτε χρόνον πολὺν τῇ ἀπάτῃ σύνεστι, καὶ
12 βλάπτεται βλάβην ἐλαφρὰν, καὶ οὐκ ἀνήκεστον. Ὁ δὲ ταῖς
κακίαις ἐθίζων ἔπαινος ὡς ἀρεταῖς, ὡς μὴ ἀχθόμενον, ἀλλὰ
χαίροντα χρῆσθαι, καὶ τὸ αἰδεῖσθαι τῶν ἁμαρτανομένων ἀφαι-
ρῶν, οὗτος ἐπέτρεψε Σικελιώταις, τὴν Διονυσίου καὶ Φαλάριδος
ὠμότητα, μισοπονηρίαν καὶ δικαιοσύνην προσαγορεύων· οὗτος
Αἴγυπτον ἀπώλεσε, τὴν Πτολεμαίου θηλύτητα, καὶ θεοληψίαν,
καὶ ὀλολυγμοὺς, καὶ κρίων, καὶ τυμπάνων ἐγχαράξεις, εὐ-
σέβειαν ὀνομάζων καὶ θεῶν λατρείαν· οὗτος τὰ Ῥωμαίων ἤθη
τηνικαῦτα παρ' οὐδὲν ἦλθεν ἀνατρέψαι καὶ ἀνελεῖν, τὰς Ἀν-
τωνίου τρυφὰς καὶ ἀκολασίας καὶ πανηγυρισμοὺς, ἱλαρὰ πράγ-
ματα καὶ φιλάνθρωπα, χρωμένης ἀφθόνως αὐτῷ δυνάμεως καὶ
13 τύχης, ὑποκοριζόμενος. Πτολεμαίῳ δὲ τί περιῆψεν ἄλλο φορ-
βειὰν καὶ αὐλούς; τί δὲ Νέρωνι τραγικὴν ἐπήξατο σκηνὴν, καὶ
προσωπεῖα καὶ κοθόρνους περιέθηκεν; οὐχ ὁ κολακευόντων ἔπαι-
14 νος; Οἱ δὲ πολλοὶ τῶν βασιλέων, οὐκ Ἀπόλλωνες μὲν, ἂν μι-
νυρίσωσι, Διόνυσοι δὲ, ἂν μεθυσθῶσιν, Ἡρακλεῖς δὲ, ἐὰν πα-
λαίσωσι, προσαγορευόμενοι, καὶ χαίροντες, εἰς ἅπασαν αἰσχύ-
νην ὑπὸ τῆς κολακείας ἐξάγονται;

ιγ΄. Διὸ φυλακτέον ἐστὶ μάλιστα τὸν κόλακα περὶ τοὺς ἐ-
2 παίνους. Ὅπερ οὐδὲ αὐτὸν ἐκεῖνον λέληθεν, ἀλλὰ δεινὸς ὢν φυ-
λάττεσθαι τὸ ὕποπτον, ἂν μὲν εὐπαρύφου τινὸς ἢ ἀγροίκου λά-
βηται, φορίνην παχεῖαν φέροντος, ὅλῳ τῷ μυκτῆρι χρῆται, κα-
θάπερ ὁ Στρουθίας ἐμπεριπατῶν τῷ Βίαντι, καὶ κατορχούμε-
νος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις,

Ἀλεξάνδρου τοῦ βασιλέως πλέον πέπωκας,

Καί,

Γέλωτι πρὸς τὸν Κύπριον ἐνηθούμενος.

3 Τοὺς δὲ κομψοτέρους ὁρῶν ἐνταῦθα μάλιστα προσέχοντας αὐ-
τῷ, καὶ φυλαττομένους τὸ χωρίον τοῦτο καὶ τὸν τόπον, οὐκ
ἀπ' εὐθείας ἐπάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόῤῥω κυ-
κλοῦται καὶ πρόσεισιν, οἷον ἀψοφητὶ θρέμματος ἐπιψαύων καὶ
4 ἀποπειρώμενος. Νῦν μὲν γὰρ ἑτέρων περὶ αὐτοῦ τινων ἐπαί-
νους ἀπαγγέλλει, καθάπερ οἱ ῥήτορες, ἀλλοτρίῳ προσχρώμενος
προσώπῳ, ξένοις λέγων ἢ πρεσβυτέροις ἐν ἀγορᾷ μάλ' ἡδέως
παραγενέσθαι πολλὰ καὶ ἀγαθὰ μεμνημένοις αὐτοῦ, καὶ θαυ-

12. Τὴν Πτολεμαίου θηλύτητα) τὸν Δ. Πτολεμαῖον ἐννοεῖ τὸν Φιλοπάτορα· περὶ τοῦ ὁποίου Πολύβ. Ε, 34.

ιγ΄. 2. Ἂν μὲν εὐπαρύφου τινὸς...) Ἔκ τινος τοῦ Μενάνδρου κωμῳδίας φαίνεται ὅτι παρέλαβε ταῦτα ὁ Πλούταρχος.

4. Ξένοις λέγων ἢ πρεσβυτέροις) τοιαῦτα βλέπεις καὶ παρὰ Θεοφράστῳ ἐν τῷ Κόλακος χαρακτῆρι.

μάζουσι. Νῦν δ' αὖ πάλιν, αἰτίας ἐλαφρὰς καὶ ψευδεῖς πλα- 5
σάμενος καὶ συνθεὶς ἐπ' αὐτὸν, ὡς ἀκηκοὼς ἑτέρων ἀφῖκται
μετὰ σπουδῆς, πυνθανόμενος, ποῦ τοῦτο εἶπεν, ἢ ποῦ τοῦτο ἔ-
πραξεν. Ἀρνούμενον δέ, ὡς εἰκός, αὐτόθεν ἔχων, ἐμβέβληκεν εἰς 6
τοὺς ἐπαίνους τὸν ἄνθρωπον, Ἐγὼ δὲ ἐθαύμαζον, εἰ σὺ κακῶς
τινα τῶν συνήθων εἶπας, ὁ μηδὲ τοὺς ἐχθροὺς πεφυκώς· εἰ σὺ
τοῖς ἀλλοτρίοις ἐπεχείρησας, ὁ τοσαῦτα τῶν ἰδίων δωρούμενος.

ιδ'. Ἕτεροι τοίνυν, ὥσπερ οἱ ζωγράφοι τὰ φωτεινὰ καὶ λαμ-
πρὰ τοῖς σκιεροῖς καὶ σκοτεινοῖς ἐπιτείνουσιν ἐγγὺς παρατιθεμέ-
νοις, οὕτω τῷ ψέγειν τἀναντία καὶ λοιδορεῖν, ἢ διασύρειν καὶ
καταγελᾶν, λανθάνουσι τὰ προσόντα κακὰ τοῖς κολακευομέ-
νοις ἐπαινοῦντες καὶ τρέφοντες. Σωφροσύνην τε γὰρ ὡς ἀγροι- 2
κίαν ψέγουσιν, ἐν ἀσώτοις, καὶ πλεονέκταις, καὶ κακούργοις,
καὶ πλουτοῦσιν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ πονηρῶν· αὐτάρ-
κειαν δὲ καὶ δικαιοσύνην, ὡς ἀτολμίαν καὶ ἀῤῥωστίαν πρὸς τὸ
πράττειν· ὅταν δὲ ῥαθύμοις καὶ σχολασταῖς καὶ τὰ μέσα φεύ-
γουσιν τῶν πόλεων ὁμιλῶσιν, οὐκ αἰσχύνονται πολιτείαν μέν,
ἀλλοτριοπραγίαν ἐπίπονον, φιλοτιμίαν δέ, κενοδοξίαν ἄκαρπον 3
ὀνομάζοντες. Ἤδη δὲ καὶ ῥήτορος ἔστιν ὅτε κολακείᾳ διασύ-
ραι φιλόσοφον, καὶ παρὰ γυναιξὶν ἀκολάστοις εὐδοκιμοῦσι τὰς
μονολεχεῖς καὶ φιλάνδρους, ἀναφροδίτους καὶ ἀγροίκους ἀπο-
καλοῦντες. Ὑπερβάλλει δὲ μοχθηρίᾳ τὸ μηδ' ἑαυτῶν ἀπέχε- 4
σθαι τοὺς κόλακας. Ὡς γὰρ οἱ παλαισταὶ τὸ σῶμα ποιοῦσι
ταπεινόν, ὅπως ἑτέρους καταβάλωσιν· οὕτω τῷ ψέγειν ἑαυτοὺς
εἰς τὸ θαυμάζειν τοὺς πλησίον ὑποῤῥέουσιν· Ἀνδράποδόν εἰμι
δειλὸν ἐν θαλάσσῃ, πρὸς τοὺς πόνους ἀπαγορεύω, μαίνομαι κά-
κῶς ἀκούσας ὑπ' ὀργῆς· ἀλλὰ τούτῳ, φησίν, οὐδέν ἐστι δεινόν,
οὐδὲν πονηρόν, ἀλλ' ἴδιος ἄνθρωπος, πάντα πρᾴως φέρει, πάν-
τα ἀλύπως. Ἂν δ' ᾖ τις οἰόμενος πολὺν ἔχειν νοῦν, καὶ βουλό- 5
μενος αὐστηρὸς εἶναι καὶ αὐθέκαστος, ὑπὸ δή τινος ὀρθότητος
ἀεὶ προβάλληται τό,

Τυδεΐδη, μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει·

οὐ ταύτῃ πρόσεισιν ὁ τεχνίτης κόλαξ, ἀλλ' ἔστι τις ἑτέρα μη-
χανὴ πρὸς τὸν τοιοῦτον. Ἥκει γὰρ αὐτῷ περὶ πραγμάτων ἰ- 6
δίων, ὡς δὴ φρονήσει περιττοτέρῳ συμβουλευσόμενος· καί φησι
μᾶλλον μὲν ἑτέρους ἔχειν συνήθεις, ἐνοχλεῖν δ' ἀναγκαίως ἐκείνῳ·

ιδ'. 2. Ῥαθύμοις καὶ σχολασταῖς) ῥᾴθυμος ὁ ἀμελής, ὀκνηρός· σχολαστὴς δὲ ὁ εἰς τὰ αὑτοῦ καταγινόμενος, τῶν δημοσίων ἀπέχων· σχολασταὶ δὲ καὶ σχολαστικοὶ λέγονται οἱ εἰς τὰ γράμματα καταγινόμενοι. Ἴδε Κικέρων. Π. Καθηκόντ. 1, 9. ὁ καὶ δὲ ἐνταῦθα πλεονάζει, καὶ τὸ σχῆμα »Ἓν διὰ δυοῖν.«

5. Τυδεΐδη . . .) Ἰλιάδ. Κ. 249.

ποῦ γὰρ καταφύγωμεν οἱ γνώμης δεόμενοι; τίνι δὲ πιστεύσω-
7 μεν; Εἶτ' ἀκούσας, ὅ,τι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας,
οὐ γνώμην, ἄπεισιν. Ἂν δὲ καὶ λόγων τινὸς ἐμπειρίας ὁρᾷ με-
ταποιούμενον, ἔδωκέ τι τῶν αὐτῷ γεγραμμένων, ἀναγνῶναι καὶ
8 διορθῶσαι παρακαλέσας. Μιθριδάτῃ δὲ τῷ βασιλεῖ φιλιατροῦν-
τι, καὶ τεμεῖν ἔνιοι καὶ καῦσαι παρέσχον αὑτοὺς τῶν ἑταίρων,
ἔργῳ κολακεύοντες, οὐ λόγῳ· μαρτυρεῖσθαι γὰρ ἐμπειρίαν ἐδό-
κει, πιστευόμενος ὑπ' αὐτῶν.

9 Πολλαὶ μορφαὶ τῶν δαιμονίων.

τὸ δὲ γένος τοῦτο τῶν ἀρνουμένων ἐπαίνων πανουργοτέρας δεόμενον εὐλαβείας, ἐλεγκτέον, ἐπίτηδες ἀτόπους ἐπιτάττοντα συμβουλίας καὶ ὑποθήκας, καὶ διορθώσεις ποιούμενον ἀλόγους. Πρὸς μηδὲν γὰρ ἀντιλέγων, ἀλλὰ πᾶσι συνεπινεύων, καὶ δεχόμενος πάντα, καὶ βοῶν παρ' ἕκαστον ὡς εὖ καὶ ἱκανῶς, γίνεται καταφανὴς

Σύνθημ' ἐρωτῶν, ἄλλο μαστεύων χρέος,
ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος.

ιέ. Ἔτι τοίνυν, ὥσπερ ἔνιοι τὴν ζωγραφίαν σιωπῶσαν ἀπεφή-
ναντο ποιητικήν, οὕτως ἐστί τις κολακείας σιωπώσης ἔπαινος.
2 Ὥσπερ γὰρ οἱ θηρεύοντες, ἂν μὴ τοῦτο ποιεῖν, ἀλλ' ὁδοιπορεῖν
ἢ νέμειν ἢ γεωργεῖν δοκῶσι, μᾶλλον τὰ θηρευόμενα λανθάνου-
σιν· οὕτως οἱ κόλακες ἅπτονται μάλιστα τοῖς ἐπαίνοις, ὅταν
3 ἐπαινεῖν μὴ δοκῶσιν, ἀλλ' ἕτερόν τι πράττειν. Ὁ γὰρ εἴκων ἕ-
δρας καὶ κλισίας ἐπιόντι, καὶ λέγων πρὸς δῆμον ἢ βουλήν, ἂν
αἴσθηταί τινα τῶν πλουσίων βουλόμενον εἰπεῖν, ἀποσιωπῶν με-
ταξύ, καὶ παραδιδοὺς τὸ βῆμα καὶ τὸν λόγον, ἐνδείκνυται
σιωπῶν, μᾶλλον τοῦ βοῶντος, ὅτι κρείττονα νομίζει καὶ δια-
4 φέροντα τῷ φρονεῖν ἐκεῖνον. Ὅθεν ὁρᾷν ἔστιν αὐτοὺς ἕδρας τε
τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας, οὐχ
ὅτι τούτων ἀξιοῦσιν αὑτούς, ἀλλ' ὅπως ὑπεξανιστάμενοι τοῖς
πλουσίοις κολακεύωσι· καὶ λόγου κατάρχοντας ἐν συνόδοις καὶ
συνεδρίοις, εἶτα παραχωροῦντας ὡς κρείττοσι, καὶ μετατιθεμέ-
νους ῥᾷστα πρὸς τοὐναντίον, ἄνπερ ἢ δυνατὸς ἢ πλούσιος ἢ ἔνδοξος
ὁ ἀντιλέγων. Ὧι καὶ μάλιστα δεῖ τὰς τοιαύτας ὑποκατακλίσεις
καὶ ἀναχωρήσεις αὐτῶν ἐξελέγχειν, οὐκ ἐμπειρίαις, οὐδ' ἀρεταῖς,

---

7. Ὅ,τι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας, οὐ γνώμην) οὕτως ἐκολάκευον Δημήτριον τὸν Πολιορκητήν. Ἴδε βίον αὐτοῦ παρὰ Πλουτάρχ.

8. Μιθριδάτῃ φιλιατροῦντι) τὸ αὐτὸ διηγεῖται καὶ περὶ τοῦ Ἀλεξάνδρου ὁ Πλούταρχος. Ἴδε βίον αὐτοῦ.

9. Πολλαὶ μορφαὶ τῶν δαιμονίων) Εὐριπίδου τόδε ἐν τέλει πολλῶν τραγῳδιῶν. Ἄλκηστ. 1159. Ἀνδρομ. 1284. Βάκχ. 1386. Ἑλέν. 1704.

ιέ. Ἔνιοι . . . ἀπεφήναντο) ὁ Σιμωνίδης ὁ Κεῖος.

ΙΩΑΝΝΙΝΑ 2006

οὐδ' ἡλικίαις ὑφιεμένων. ἀλλὰ πλούτοις καὶ δόξαις. Ἀπελλῆς 5
μὲν γὰρ ὁ ζωγράφος, Μεγαβύζου παρακαθίσαντος αὐτῷ, καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λαλεῖν, Ὁρᾷς, ἔφη, τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα; πάνυ σοι προσεῖχε τὸν νοῦν σιωπῶντι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία· νῦν δέ σου καταγελᾷ περὶ ὧν οὐ μεμάθηκας ἀρξαμένου
λαλεῖν. Καὶ Σόλων, Κροίσου περὶ εὐδαιμονίας διαπυνθανομέ- 6
νου, Τέλλον τινὰ τῶν οὐκ ἐπιφανῶν Ἀθήνησι, καὶ Βίτωνα καὶ Κλέοβιν, ἀπέφηνεν εὐποτμωτέρους. Οἱ δὲ κόλακες τοὺς βασιλεῖς
καὶ πλουσίους καὶ ἄρχοντας οὐκ ὀλβίους μόνον καὶ μακαρίους, 7
ἀλλὰ καὶ φρονήσει, καὶ τέχνῃ, καὶ ἀρετῇ πάσῃ πρωτεύοντας ἀναγορεύουσιν.

ιϛ'. Εἶτα τῶν μὲν Στωϊκῶν οὐδὲ ἀκούειν ἔνιοι ὑπομένουσι, τὸν σοφὸν ὁμοῦ πλούσιον, καλόν, εὐγενῆ, βασιλέα προσαγορευόντων· οἱ δὲ κόλακες τὸν πλούσιον ὁμοῦ καὶ ῥήτορα καὶ ποιητήν, ἂν δὲ βούληται, καὶ ζωγράφον, καὶ αὐλητὴν ἀποφαίνουσι, καὶ ποδώκη, καὶ ῥωμαλέον, ὑποπίπτοντες ἐν τῷ παλαίειν, καὶ ἀπολιμπανόμενοι θεόντων· ὥσπερ Κρίσσων ὁ Ἱμεραῖος ἀπελείφθη διαθέων πρὸς Ἀλέξανδρον· ὁ δ' αἰσθόμενος ἠγανά-
κτησε. Καρνεάδης δὲ ἔλεγε, ὅτι πλουσίων καὶ βασιλέων παῖδες 2
ἱππεύειν μόνον, ἄλλο δὲ οὐδὲν εὖ καὶ καλῶς μανθάνουσι· κολακεύει γὰρ αὐτοὺς ἐν ταῖς διατριβαῖς ὁ διδάσκαλος ἐπαινῶν, καὶ ὁ προσπαλαίων, ὑποκατακλινόμενος· ὁ δὲ ἵππος οὐκ εἰδὼς οὐδὲ φροντίζων, ὅστις ἰδιώτης ἢ ἄρχων, ἢ πλούσιος ἢ πένης, ἐκτραχηλίζει τοὺς μὴ δυναμένους ὀχεῖσθαι. Εὐήθη τοίνυν καὶ ἀβέλ-
τερα τὰ τοῦ Βίωνος· Εἰ τὸν ἀγρὸν ἔμελλεν ἐγκωμιάζων εὔφο- 3
ρον ποιεῖν καὶ εὔκαρπον, οὐκ ἂν ἁμαρτάνειν ἐδόκει τοῦτο ποιῶν μᾶλλον ἢ σκάπτων καὶ πράγματα ἔχων· οὐ τοίνυν οὐδ' ἄνθρωπος ἄτοπος ἂν εἴη ἐπαινῶν, εἰ τοῖς ἐπαινουμένοις ὠφέλιμός ἐ-
στι καὶ πάμφορος. Ὁ μὲν γὰρ ἀγρὸς οὐ γίνεται χείρων ἐπαι- 4
νούμενος· ἄνθρωπον δὲ τυφοῦσι καὶ ἀπολλύουσιν οἱ ψευδῶς καὶ παρ' ἀξίαν ἐπαινοῦντες.

---

5. Ἀπελλῆς μέν. — Μεγαβύζου) Μέρος δὲ τῆς διαλέξεως αὐτῶν ταύτης ἐκθέτει ἀλλοῦ ὁ Πλούταρχος. Περὶ Ἀτ. Ψυχῆς Μεγάβυζον δὲ τὸν Πέρσην εἰς τὸ ζωγραφεῖον ἀναβάντα τοῦ Ἀπελλοῦ, καὶ λαλεῖν ἐπιχειρήσαντα περὶ τῆς τέχνης, ἐπεστόμισεν ὁ Ἀπελλῆς εἰπών· ἕως μὲν ἡσυχίαν ἦγες, ἐδόκεις τις εἶναι διὰ τὰ χρυσία καὶ τὴν πορφύραν, νυνὶ δὲ καὶ τὰ τρίβοντα τὴν ὤχραν παιδάρια καταγελᾷ σου φλυαροῦντος.» Ὁ δὲ Αἰλιανὸς Ζεύξιν ἀποδίδει τοῦτο Ποικίλ. Ἱστορ. Β', 2. Πλίνιος δὲ φησ', Ἱστορ. ΛΕ', 36, 12 Ἱστορεῖ, ὅτι καὶ εἰς τὸν Ἀλέξανδρον εἶπε τοιαῦτα ὁ Ἀπελλῆς.

6. Σόλων, Κροίσου) Ἴδε Ἡρόδ. Α', 30. — 33 καὶ Ἰουβενάλ. Γ', 274 στιχ.

ιϛ'. Κρίσσων ὁ Ἱμεραῖος) — Ἴδε Διοδ. ΙΒ', 82. ἐνίκησεν ἐν Ὀλυμπίοις στάδιον τὴν Ὀλυμ. Π/'. — Πι. Μνημονεύει δὲ ἀ-